Πόλις τίς, ἢ τέραμνον, οὖρος, ἢ σπιλάς,
Ἢ τ' ἄλλο γαίης ἀγχιτέρμονος μέρος,
Ἢ τ' οὖν πολυκλύστοισι κυμάτων σάλοις
Ἐξ οὗ πέφυκε νῆσος ἐγκονουμένη,
Οὐχ εἶξεν εὐθύς, καὶ προσήρμοσεν κάρην
Δεχθεῖσα νεῦμα φίλτατον πανολβίου ;
Δίζοιμεν ἄλλην αἶσαν ; οὐ χθονοστιβὴς
Ἄλλη νέη βέβηκεν ἐκ πόντου βυθῶν,

Ob impiorum scelera placarunt Deum ;
O gaudiorum quantus exundat liquor!
Superfluentes qui voluptates sinu
Fovere nequeunt, quàm malè interna occulunt
Reposta mente gaudia! alternis solum
Ferire plantis more saltantum solent:
Motu per auras utque multiplici alites
Sublime librant corpus, exultant simul
Cognatus, hospes, civis, atque animo pari
Amicus, hostis. Macte, quid nectis moras?
Fruuntur oculi? tene communis fugit
Lætitia? mentem sic tuam retrò omnium
Spectaculorum maximum ostentum latet?
Rex imperabat GALLIÆ, cari gerens
Vices Parentis, præpotentique insidens
Throno, dominii regula excellens sui,
Ius cuique reddens, opera cùm potens favor
Injuriosa, nescia et legis parit,
Queis jura spernens pravus offendit bonos:
Beatiorum Rex Monarcharum, quati
Non facilis ullo robore, aut audacia,
LODOICUS, agmen plebis immensæ regens,
Autoritatis maximo major gradu.
Quis non eum veretur? ac veluti Deo
Reverentiorem non ei cultum exhibet,
Messem amplioris inde virtutis ferens?
Quæ vis? quod animo robur? aut hasta valens,
Aut copiarum mille ductor inclytus,
Qui non, eo, minister, aspecto, manum
Servire promptus tribuat, et collum jugo
Servile placido subdat, et factus sua
Obediendi sorte liberior, colat?
Quæ civitas? quæ tecta? quod montis jugum?
Specusve, et ampli limes extremus soli?
Quæ fluctuantis Insula, aut Isthmus maris
Emersus alveo, tam beati Principis

Ἠ νῦν Θεοῦ βουλαῖσι προστεταγμένη
Πρῶτον γ', ὅπως πρώτου γε προστατῶν πέδου
Πρώτη βραβεύσει σκῆπτρα, καὶ σώσει κλέος ;
Ἓν δὴ μόνον τάραττε τοσσούτου φρένας,
Δεινῇ τ' ἐπισκοποῦντα συμφορᾷ τύχη
Ἔτειρε, κἀπήλγυνε· πρὸς δὲ καὶ γάνος
Ἄλλων ἐκύκα ξυννεφεῖ τριχώματι.
Ἄπαις γὰρ ἔσκε χρόνιος, οὐδὲ οἵ ποτὲ
Μακροῖς γονὴ βλάστησεν ἐν εὐνήμασιν.
Ἧϐαι δ' ἔλαμψαν ἐν λέχει νεάνιδες.
Εἶτ' ἀνδρὸς ἁδρὸν εὐσθενήσασαι κράτος,
Καὶ δὴ ῥέπουσ' ἐς γῆρας, ἢ πολλοὺς χρόνους
Ἄκαρποι, οὐδὲ χρηστοί, οὐδ' ἔχουσιν οἷς
Λείψουσι πλοῦτον ἄφατον, ἕδνα, καὶ θρόνους.
Ἔνθεν πόσις σύννομος, καὶ κλυτὴ δάμαρ,
Καὶ πᾶς τις ἄλλος, ᾧ φίλον Θεοῦ σέϐας
Ὄψει κατηφεῖ, καὶ νόῳ πεπνυμένῳ,
Τὸν πρὶν ἐν εὐχαῖς αὖθι κίκλησκον Θεόν,
Ἤτουν τε παῖδα, καὶ γένους εὐκαρπίαν,
Ὅπως πατρῷα παισὶν ἐκ παίδων μόλοι,
Πάγκληρα, μὴ δ' ἐπακτὸς ἁρπάσει ξένα.
Τί δ' οὖν ὁ κινῶν οὐρανοῦ Θεὸς χύσιν,
Πέδον διοικῶν ἡνίοις ἀκαμπέσι,
Διδοὺς ἐῶν διψῶσιν, ὡς φίλον, βροτοῖς,
Ῥιζῶν τὰ πάντα, καὶ σοφῶς τεχνώμενος.
Τείνει μὲν ὄμμα πανταχοῦ θεῶς στρέφων,
Εἰ καὶ πανούργοις σχετλίων μοχθηρίαις
Λυπρὸν θέαμ' ἐσεῖδεν, ἐντείνει δ' ὅμως,
Γαίης θ' ὁρᾷ κρηπῖδας, ἃς στήσας ἔχε,
Βρασμοῖσι δεινοῖς ῥιζόθε·κλονουμένας,
Νείκεσσι δ' ἀνδρῶν, καὶ δυσιάτοις μόθοις
Χθονὸς πρόσωπα λαμπρὰ δύσμορφον στολὴν
Βαλόντ', ἄτιμα ὑποϐρυχίοις νεύειν κακοῖς,
Βροτῶν δὲ χειμασθέντα τρηχείαις μάχαις
Ῥέπειν γένεθλ' ἐς τ' οὐδὲν ἐγκονούμενα.
Οἴστρῳ δ' Ἐριννὺν δριμὺ λυσσῶσαν χέειν

Desideratum quò sequi nutum queat,
Non cessit, aut adjecit extemplò caput?
Est alia sors quærenda? tellusne altera
Calcanda pedibus, rursus erupit vadis
Pelagi profundis? fortè, vel jussu Dei,
Emersa primùm est, prima, quò primi omnium
Regis coronam gloriabunda occupet,
Decusque servet? Causa turbandæ super
Hæc una mentis; Pressit ærumna Ducem
Fors imminente, tetrico et vultu omnium
Susdeque vertit gaudia: expertem torum
Nam prole cernit, sterilis et conjux diu
Connubiorum fœnore optato caret.
Iuvenile thalamo tempus accendit faces,
Ætasque pollens viribus, et acris viri
Virtus in annos repit, et senio imminet
Infructuosa, proh dolor! et inutilis.
Hæresque deerat, qui per immensas opes,
Et possidendos ineat Heroum thronos.
Consors maritus inde, Conjuxque inclyta,
Et subditorum quisque, cui carus Dei
Sit cultus, oculo pronus atque animo invocat
Prudente Numen, filium, et magni rogans
Fæcunditatem generis, ut capiat Patrum
Hæreditatem filiorum à filiis
Propago, et hospes ne subintrusus ferat.
Quid ergo? liquidos qui movet Cœli globos,
Et irretorto qui solum frœno regit,
Hominumque votis, pro voluntate, annuit,
Qui cuncta fulcit, arte sapienti sua
Molitus opera, dividit celeri undique
Diversa motu lumina; ingenium licet,
Faciemque scelerum videat; advertit tamen,
Partes et imas, ipse quas struxit, soli,
Tumultuanti funditus quassas notat
Fervore belli, perque remedii inscias

Ἄτην τε, πημονήν τε πλουσίᾳ χερὶ
Ἀνδράσσι πρῶτα τῶν φρενῶν τητωμένοις.
Ἤχθηρε ταῦτα Παντάναξ· τίη γὰρ οὔ;
Θελχθεὶς δὲ πάντων εὐμενεστάτοις λιταῖς
Κούρην ἄτεκνον εἶπεν εὔγονον πέλειν,
Καὶ παῖδα φῦναι πημοναῖς σωτήριον,
Τοκεῖ μέγιστον χάρμα, καὶ πᾶσι βροτοῖς.
Ἔληγεν οὔπω ῥῆμα, καὶ παῖς μέσοις
Ἠθροῦτο, καὶ κινεῖτο, κ' ἐξοφέλλετο
Κόλποις ἄελπτος αἵμασι μορφωθεὶς πατρός.
Ἐπεὶ δὲ μῆνες, χ' ἡμέραι μόλον ποτέ,
Μέγιστον ἐξήνεγκεν Ἡρωῒς γόνον
Κόλπων μεγίστων, καὶ μεγίστῳ πρόσφορον
Φέρουσα πατρὶ δῶκε φιλτάτη πολύ.
Κῦμ' ἔνθα λύπης, καὶ λυγροῦ κήδους νέφος
Πάντων ἀπὸ βροτῶν εὐθὺς ἐλήλαται μακράν.
Στίλβει τε Φοῖβος ἢ τὸ πρὶν φαάντερος,
Λευκόν τε πᾶσι προσγελᾷ φῶς ἡμέρα,
Βίος τε δεινὸς εὐμενοῦς ἔδυ γέρας.
Τῷ καὶ πρὶν ἐχθρὸν νῦν φίλον φαίνει σέλας.
Ἴδ' ὡς ἄνασσαι ΓΑΛΛΙΑΣ κλυταὶ πόλεις
Δρηστήριοι παρέασι τῷ κεκτημένῳ,
Πισταί, προσηνεῖς, νεύμασιν πειθύνιοι,
Μαίευμα φωτῶν πανσόφων ΛΟΥΚΗΤΙΑ,
Σκήπτρων ἕδρασμα συμμετρουμένων πόλῳ.
Καὶ Πάλλαδος τέχναισι, καὶ Γότθων θρόνοις
Ῥείθροις Γαρύμνου, καὶ πολυχρύσῳ ῥόῳ
Ἄλλων ΤΟΛΩΣΑ δῖα κρύψασα κλέος.
Ταύταις δ' ἐπ' ἦκε ΓΡΑΤΙΑΝΟΥ κλεινὸς δόμος.
Ἥτ' ἀμφ' ἀρετῆς τέτευχε δῆριν Κέκροπος,
Ἄστυ ΒΙΒΙΣΚΩΝ, χῶρα γυμνασίοις αἰνουμένη,
Καὶ ΣΕΞΤΙΟΥ Λοετρά, καὶ καλλίῤῥοος
ΔΙΒΩΝΑ πηγή, καὶ Θεῶν ἀνάκτορον.
Τί δ' ἂν λέγοιμι ΡΟΤΟΜΑΓΟΥ, καὶ ΡΗΔΟΝΩΝ
Πτόλεις κλεαινὰς ταυτὸν εἰς ὠθουμένας;
Ἄρ' οὐ Γαρύμνης, Σηκανός, Λίγειρ, Ἄραρ,

Rebelliones obtenebratis humum
Sine honore ciliis vergere in præceps mali,
Mortaliumque sic citò exhaustum genus
Humi jacere, marte consumptum truci.
Oestro incitatas quid quod Eumenidas videt
Immane quantùm furere, et humanum feris
Turbare damnis, mentis alienum, genus,
Læva malorum qua locupleti valent.
Rex execratus ista; nam quidni? piis
Evictus immo precibus, Hac fœtu tenus
Carentis, inquit, prodeat vulvæ sinu
Patriis beatam cladibus metam puer
Ortu daturus, atque lætitiam omnibus.
Vix ea : paternus sanguis in matris sinu,
Coagulatur, exilit, vires capit
Spem præter omnem. Cumque natura statas
Revoluit orbes Cynthia, illustri inclytum
Effudit utero filium, et magno dedit
Magnum parenti munus, Heroum genus
Regina : fluctus inde mœroris procul,
Molestiæque nubila è corde omnium
Evanuerunt; Phœbus et solito micat
Lucidior, albo lumine arridet dies;
Tranquillitatem vita honoratam induit,
Iubarque amicum lucet, inimicum antea,
Quæ civitates GALLIÆ in populos caput
Latè extulerunt, impigra in dominium fide,
Placida, obsequente solvere officium student.
LUTETIA venit prima, sapientis ferax
Alumna gentis, sceptra quæ fulcit polo
Æquata : sequitur inde Palladio nitens
TOLOSA studio, Gothico et illustris throno,
Aureo Garumna nobilis, proprio tegens
Honore civitatis, alienum decus.
Succedit inde clara GRATIANI domus;
Hinc quæ BIBISCA Regio, gymnasiis potens,

Γαῖαν τ' ἔπι ὃς ἵησι τρίλλιστον ποτὸν
Ῥοδανός, ῥεέθροις ἀσπέτοις κυκώμενοι
Αὔχαις κομῶσι, γαῦρα τ' ὠφρυωμένοι
Δίνας μελαίνας Γάγγεω πολὺν γέλων,
Ἴστρον κελαινόν, ἢ Συρηγεννοῦς πλάτος,
Νείλου τ' ἄναυρον οἶδμα, καὶ πολύσταχυν
Ἢ δ' εἴτ' ἔπ' ἄλλοις ἄλλος εὔχεσι φρονεῖ,
Ποιοῦνται, οὐδὲ μικρὸν ἅπτεται σφέων.
Καὶ δὴ γὰρ ἐν στήθεσσι θεοπρεπεῖ κέαρ
Οἰκῆος ὠδῖν ὄρνιν ἐλθεῖν δεξιόν,
Κῦρον θ' ὑπάρξαι σφῶϊν ἀφθόνων καλῶν,
Ποταμῶν θ' ὑπὲρ ἄλλων τιμίους καθεστάναι.
Καὶ ταῦτα μέντοι συγγενεῖς τε, καὶ φίλοι.
Τί δ' οὓς ὅμαιμος οὐκ ἀναγκάζει φύσις ;
Τὶ δ' οἱ γένους σύνδεσμον, ἢ φιλίας νόμους
Πάντεσσ' ἀγαστοὺς ἀχρεῶς ἀπέπτυσαν ;
Γηθοῦσ' ἔτι μᾶλλον· καὶ γὰρ ὠφελησίμους
Τόκους νοοῦσι, καί τι προμνῶνται μέγα.
Τῷ δὲ γεγηθὸς δάκρυον γληνῶν ἄπο
Βαλόντες, ἐγκονοῦσιν αἰόλον δέμας,
Κέλτης, Σκύθης, Γερμανός, Αἰθίοψ, Ἴβηρ,
Ἄλλης ἀπ' αἴης ἡμεροδρόμος τρέχων,
Δώρων, δόμμοισιν ὅ,τι τιμηέστατον
Κεῖται, νεογνῷ κοιράνῳ δωρούμενοι.
Τίη τόδ' ἐστίν ; ἆρ' ἐτήτυμον βλέπω ;
Ὢ ὄψις, ὢ πρόσχημα φιλτάτων ἐμοί.
Ὢ τῶν ἁπάντων, ὧν προσαθρησάμην ποτὲ
Θεαμάτων κάλλιστον ἐν καιρῷ φανέν.
Ὄψει προσηνεῖ σεμνὸν ἐμπρέπει σέλας,
Αἰδοῖ προσῆψε γοργὸν ὀφθαλμοῦ φοράν,
Κινουμένοις τε ποσσὶν ἀσφαλῆ βάσιν,
Ἐλευτέραν τε χερσὶ χρωμένοις δόσιν,
Τηλαυγέσι στέφεσσιν ἐξεστεμμένη.
Μέλας χαλᾶτο πέπλος ἄχρι καὶ ποδῶν,
Καλὸν φαεινοῖς πτύγμασιν κρύπτων δέμας,
Ὠᾳ προμήκει δ' ἐκτανυσθεὶς ἐν χθονί,

Virtute Athenis certat; et ab aquis ferens
Urbs SEXTIANIS nomen; et pulchri fluens
Liquore fontis DIVIO, Divorum sacra
Statione celebris. Clara quid fando loca,
Quà RHEDONENSES,quaque RHOTOMAGI Patres,
Proceresque memorem, causa quos eadem movet?
Annon Arar, Garumna, Sequana, et Liger,
Et concupitas, arva per, lymphas vehens
Rhodanus; receptis qui sinu innumeris eunt
Superbiores, humidam attollunt comam?
Superque cilio turgidi, irrident nigros
Gangis profundi vortices, Istri, et Syri
Euphratis undas, intumentemque alveo
Prægnante Nilum, cui procellarum silet
Vis omnis? aut si laude fluviorum altera
Se jactat alter, nil eos prorsum movet.
Præsaga faustum namque properare alitem
Mens ominatur, omnis autorem boni
Et honoris, inter flumina, æterni ducem.
Cognationis charitatisque ista sunt.
Quid porrò, quos natura, vel sanguis piæ
Necessitatis vinculo junxit simul?
Quid, qui propinqua respuerunt perperam
Affinitate generis uniri domos?
Impensius lætantur, et magna omnia
Sibi pollicentur, utilem partum rati.
Hinc gaudiorum lachrymæ ex oculis cadunt,
Lavantque membra. Celta, Germanus, Scytha,
Iberus, atque totum ab extrema diem
Regione properat Æthiops; quidquid domi
Pretiosioris possidet, amica manu,
Novo daturus Principi. Quid hìc novi?
Quæ tanta video? cernere an verum putem?
Spectaculum ingens? ô voluptatis meæ
Accessiones maximæ! ô retrò omnium
Quas ante vidi, qualis illuxit dies!

Περισσὸς ὥστε σύρετ' ἐκλελειμμένος.
Μέλας μὲν ἦε πέπλος, ἀνθηρὸς δ' ὅμως,
Τέχναις ἀκριβῶς ποικίλαις ἠσκημμένος.
Στικτός τε μορφαῖς γραμμάτων μελαντέρων,
Ἃ μοῦνος εἴποι πάνσοφος σαφῶς ἀνήρ.
  Πρώτη μὲν ἦδ' ἡγεῖτο· ταίδ' ἐπ' ἴχνια
Κείνης ὄπισθεν ἐπηκολούθουν μυρίαι
Στολμοῖς ἐν αὐτοῖς καὶ χροιὴν ἀλίγκιοι.
Πάσαις δ' ἐπήνθει κάλλος ἐκπρεπέστατον.
Φυῆς ἔχουσ' ἄγαλμα, καὶ φυῆς ἄκρον,
Μούνης Ἀνάσσης ὑστερούμεναι μόναι.
  Ὡς δ' ἥδε Παῖδα ποτνίαις ἐν ὠλέναις
Ἔδεκτο, κἀπήχυνε, καὶ κόλποις μέσοις
Σφίγξασα, καλόν τι κάρτ' ἐφίλησε, καὶ γλυκύ.
Ἔπειτα δ' ὄμμα προσβαλοῦσα φιλτάτῳ
Βρόντησε, κἀξήστραψε κρουναίους λόγους,
Οἵους ἂν οὐ κύκησαν οὐδ' ὁ Λαρτίου,
Οὐδ' Ἀτρέως παῖς, οὐδ' ὁ ἐκ Πύλου γέρων.
Σιγῶ Περικλῆν, τ' ἄλλα Ῥητόρων νέων
Πρὸς ῥῆμα κείνης φροῦδα βαυκαλήματα.
  Πρόσχημ' ἀθρεῖς, ἔειπεν, ὦ Τέκνον, ξένον.
Δυσμὰς σὺ γὰρ ναίησθα, κἠγὼ δ' Ἀντολάς.
Ἔνθεν πόδες μ' ἄγουσιν εἰς Κελτῶν ἕδρας.
Τήλιστος οὐδὸς ἔσκεν, ἀλλὰ προσφιλής,
Ἐπεὶ θίγωσε, καὶ δέμας προπτύσσομαι.
Πάντες δ' ὅσοι δρέψαντο Μουσῶν ἐν μυχοῖς
Τέχνας, λόγοιό τ' ὄργια πολυΐδμονος.
Ἢ καὶ κραταιὸς χερσὶ παγχάλκοις δόρυ
Κράδηνεν, ὅπλοις σῶμα θωρηχθεὶς ὅλον,
Ἐχθρὸν τ' ἐν ἄρει νίκησεν ἀντίος κυρῶν,
Ἴσασι τἀμὰ, καὶ κικλήσκουσ' ΕΛΛΑΔΑ.
ΕΛΛΑΣ γάρ εἰμι Τέκνον, ΕΛΛΑΣ, ἧς κλέος
Ἄσβεστον ἔργοις τιμίοις πεπραγμένον,
Διελθὸν ἔπτη πρός τε γαῖαν, καὶ διὰ
Πόντου πέρασσε νυκτός, ἡ δ' ἠοῦς λέχος,
Ἢ δ' εἴτι ποῦ ἐστὶ λαιά, κἀπιδέξια

Facie verendum jactat in amœna decus
Quod video. Celeres Virgo, verecundos tamen
Oculos, pedemque, concitum, at firmum movet;
Et liberali dona dispensans manu,
Gestat coronam crime radiantem aureo.
Fluente peplo fusca plantarum tenus,
Rutilis decorum corpus obvolvit plicis.
Protensa repit vestis, excedens modum,
Humumque longo radit et verrit sinu.
Obscura sindon, floribus variis tamen,
Et arte diligenter aspersa nitet;
Et litterarum puncta dubiarum notis,
Quæ mente pollens enthea solùm explicet.
  Præibat illa, pone quam multæ simul
Comites sequuntur; omnibus similis stola,
Colorque similis, forma speciosa omnibus,
Sed honore cedunt principem Dominæ locum:
Præ se ferens insigne naturæ decus:
Quæ cum verenda dextera infantem tenens,
Appressit ulnis, ecce Virgineo sinu
Stringit, genisque suave formosum osculum
Libat tenellis: deinde dilectum intuens
Effulguravit verba, et intonuit, modum
Salientis altè fontis æmulantia.
Qualia Laërta, qualia vel Atreo satus
Non ore streperet, ipse nec Pyli senex:
Taceo Periclen, et Sophistarum meros
Lusus, loquentis si Deæ vocem audias.
  Peregrina, Fili, decora te coram vides.
Occiduus, inquit, nam tibi, Eous mihi
Ager habitatur. Celticas hinc me in domos
Duxere plantæ, tramitis longo ambitu,
Sed concupito, cùm tuas tangam genas,
Et advoluta corpus amplectar tuum.
At qui secretis cunque Musarum artibus,
Et eruditi fruitur eloquii sacris,

Συμφραδμόνεσσι τηλόθεν γ' ᾠκισμένον.
Πεδαφρόνων γὰρ οὐδὲ μικρόν μοι μέλει.
Ὁ ΓΑΛΟΙΚΟΙΣ στήθεσφι τοῦ δ' ἄχρις χρόνου
Ἄφθαρτον ἐμπεφυκὸς ἀγλαΐζεται.
'Εγὼ νόμους ἔθηκα, ἔνθεν ΑΥΣΟΝΩΝ
Εὐδαιμόνων στήριχθεν εὐγενῆ κράτη,
Μόναρχα, παντέλεια, κόσμῳ σύγχρονα.
Ἐγὼ δίδαξα φῶτας ἐκ δρυμῶν μέσων
Ὀρεστέροις ἤθεσσιν ἐντεθραμμένους,
Θηρῶν τ' ἀνηλῶν μηδὲν ἐλλελειμμένους,
Πολλῷ δ' ἐκείνων, εἴθε δ' αὖ ψεῦδος τόδ' ἦν,
Ἐς τὸ ξύναιμον νηλεεστέρους γένος,
Δείμαντας οἴκους σκήνομον βίον τρέφειν,
Νοῦν πιστὸν ἴσχειν, ἦρα τ' ἀλλήλοις φέρειν,
Εὐεργετοῦντας εὐμενῶς εὐεργέτας·
Ὅπως δ' ἀκηδεῖς εὐφύλακτον εὐδίαν
Ἔχοιεν αὐτοὶ δυσμενῶν ἀνδρῶν κάτα,
Ἕρκεσσιν ἄστυ, καὶ δόμους πύργοις στέφειν·
Ἐπεὶ δ' ἐκείνους ἄνδρας, οὓς ἐλεξάμην,
Οὐ μοῦνον ἐνζῆν, ἀλλὰ καὶ καλῶς βιοῦν,
Ἅπασιν οἷς ἔχρηζον εὐθηνουμένους,
Κτήσεσσί τ' ἐξαρκοῦντας ἀφθόνως ἄγειν,
Ὅμως δὲ πρὸς τρυφαῖσι, καὶ χλιδαῖς νόον
Ἔχειν ἀγητόν, εἷλκε τὶς κέαρ πόθος,
Ἐγὼ διευκρίνησα τεχνέων λόγους
Σαφεῖς ἀγνῶσι, καὶ κατημαξευμένους,
Αἷς δαίδαλα βροτοῖς πάνθ' ἁπλῶς τετεύχαται.
Ὅπως δὲ μὴ βάναυσον ἐξείρουσ' ὄπα,
Χρῆμ' εὐτελέσσι ῥήμασ' ἀεικήσω τόσον,
Ἀφεῖσα μικρὰ πρὸς τὰ καίρι' ἔρχομαι.
Τμήξας ἀρότροις γαῖαν ἀγρότης ἀνήρ,
Δηοῦς δρέπησι καρπὸν εὔσταχυν δι' ἐμέ.
Ἀργοῖς ἐρετμοῖς πόντος, εἰ καὶ μαίνεται,
Κλύδωνί τ' οἰχθεὶς, ψάμμον ἐκβράζει βυθοῖς,
Βύκτας ἀέλλας ἡμερώσας ναυάτης,
Οἰήιοις τε νηὸς ἰθύνας δρόμον,

Aut qui manu vibravit ærata valens
Hastile, totum corpus armorum nitens
Fulgore, et hostis antagonistam fero
Vicit duello, mea scit, HELLADA et vocat.
Nanque illa celebris HELLAS hîc coram loquor,
Æterna cujus gloria illustri nitens
Operum decore, permeat terræ ambitum,
Perque alta, transit, æquora, auroræ statas
Noctisque metas, si qua vel lævam tenens,
Dextramve colitur gente sapienti plaga,
(Dementiorum nam mihi curæ parum est)
Quæ GALLICANIS insita in animis, diu
Splendescit, omni temporum damno carens.
Dedi ipsa leges, unde ROMANÆ stetit
Ditionis ordo firmus, æternus, potens,
Præclarus, absolutus ; ipsa homines feros
Agrestiori saltuum cultu obsitos,
Feritate crudis non inæquales feris,
Immo feriores, quod utinam falsum foret !
Propinquiori sanguinis nexu genus
Sociare doctos, architectari domos,
Clementiorem vivere et vitam, suos
Interque cives alere concordem fidem,
Animo fideles esse, gratos omnibus,
Merentibusque gratias ultro pares
Referre jussi : quoque tranquilla dies
In pace traherent, ipsa præcepti oppida
Vallare in hostes, atque turritis domos
Ambire pinnis ; expolitosque ut viros
Non vivere modò, sed beatè vivere,
Et affluentes opibus, invidia procul,
Durare vellem, sorte contentos sua.
At delicatum provido in luxum metu
Cavere cupiens, artium explicui modos,
Vulgoque tritos protuli, vario quibus
Opere elaborant omnia artifices manus.

Πρὸς ὅρμον ἔλσεν ἀσκηθὴς σόον σκάφος.
Γυνὴ δὲ θ' ἱστὸν ἴδρις εὐκλώστοις μίτοις
Πυκνῶς ἀεθλεύουσα χρυσῇ κερκίδι,
Ὑφοῖ πολυνδίνητον ἀγλαὸν φάρος,
Πάσσουσ' ἐν αὐτῷ, ὅ,τι ἄριστον οἱ δοκεῖ.
Σηρῶν ἔην ὕφασμα μάρτυρον λόγου,
Θρόνων γραφαῖσι ποικίλοις ἐστιγμένον.
Εἰδ' αὖ λύθροις ἤστραψε πορφύρας πέπλος,
Αὐτοῖς μακραῖς Ἄναξιν ἐμπολαῖς περᾷ.
Εὔνητος οὐκὶ τοῖχον ἀμπίσχει στολή,
Τάπησι καὶ στρωθέντα χραίνονται βάσει ;
Τὶς ζωγράφους τέτευχε ; τὶς γλύπτας λίθων ;
Τὶς χρυσόν, ἄργυρόν τε, καὶ χαλκὸν χυτὸν
Τιθεὶς πρὸς ἀνθράκεσσι μορφώσας ἔχει ;
Ὄπωπαν ἄρα φῶτες ὀφθαλμοῖς ποτέ,
Ἃ καὶ ἐπεὶ δέρχθησαν, οὐ πείθουσι νοῦν.
Τὶς οὐκ ἄγαλμ' ἄθρησε Δαιδάλου τρέχον ;
Χαλκὸς Μύρωνος εἰσέτι μυκᾶται βοός.
Ἔτεμνεν αἴθραν ἄλλος ἰθύνων δρόμον
Πτερῶν ἀνὴρ ἄτερθεν ἐπτερωμένος,
Τέχναις ἐμαῖσι θαῦμα θνητοῖσι ξένον.
Μουσῶν ἐγὼν ἄποινα, καὶ σοφὰς δόσεις,
Φρενός τε καρπὸν θειοδέγμονος πρόφρων
Βίβλοις περισσῶν, ὡς ἔοικεν, ἐνθέμην.
Τόθ' οἱ πρὶν ὦτα, νοῦν τε, καὶ φάη τυφλοὶ
Ὄρφνης ἀναυγοῦς ἐξελάσαντες νέφος,
Ἤκουσαν, ἔγνων, ἔδρακον πρῶτον βροτοί
Ἄλλοις τ' ἔθεντ' ἔκπτυστα πλουσίᾳ χερί.
Εἶδον πότ', εἶδον ὀμματωθέντες Πόλου
Θέοντα ῥιπαῖς λύχνα πουλυκαμπέσι,
Φορὰς τ' ἀνίσοις ἀτραποῖς ἀμφιδρόμους,
Φέρει τε Φωστὴρ πῆμα προσφανεὶς νέος,
Ἔτ' ὄλβον οὐκέτ' ὄντα σημαίνει βροτοῖς,
Ἀπ' αἰθέρος κάτεισιν ἐς πέδον βεβώς,
Δραμών τε πόντου στέρνα, καὶ Δαπτυχάς,
Βέρεθρά τ', εἴτι εἰσί, νερτέρων μυχῶν

Illiberales artium voces mea
Ne Musa tractet, rem brevi totam exprimens
Narratione, levibus omissis, dabo
Præcipua. Sulcos agricola aratro secans
Cereale per me falcibus donum metit.
Licet albicanti perfurunt remo æquora,
Et aperta arenas gurgite ex imo vomunt,
Ebulliuntque, nauta compescit Notos
Immurmurantes, navis undantis regit
Temone cursum, portui et salvam applicat.
Perita mulier stamine innexo frequens
Operata telam, texit aurata spatha
Variè retortis splendidam plicis stolam,
Quantolibet labore distinguens opus.
Sit teste Seræ textile variis ducum
Punctum figuris: si qua venalis micat
Purpurea vestis, transit in Regum manus
Advecta longè, nec modò excellens obit
Textura muros, stroma sub pedibus jacet.
  Quis et tabellas pingere, et lapidum rudes
Arare sulcos, ecquis argento valet,
Auroque, et ære fusili, pruna super
Ardente positum fingere in varias opus
Illustre formas? Visa sunt per me omnia,
Quæ visa certam vix tamen fidem obtinent,
Sculptum ambulare Dædalum quis non videt?
Myronis et adhuc Vacca mugit ænea.
Homo sine alis alter, alatus tamen,
Viam per auras secuit; hoc monstrum insolens
Mea refulsit arte: Musarum sacra,
Sapientiæque munera, et mentis Dei
Capacioris aureos fructus, libris
Sapientiorum provida Autorum, ut licet,
Mandare studui; destitutique auribus,
Oculoque cæci et mente, mortales priùs,
Caliginosæ noctis excussis statim

Εἰσδύς ὑπεξείρυσσε χρημάτων λόγους,
Φυάς τ' ἀληθεῖς, οὐ δόλοις βεβαμμένας.
Οὐ φημὶ τ' ἄλλα, τοῖς εὖ ἀνθρώπους ἄγαν
Ἔρδον· λάλον γὰρ αἰὲν ἐχθαίρω στόμα.
Αὐτὴ δ' ἐγὼ μέροψιν ἐν μακροῖς χρόνοις
Ἤνασσα, καὶ κήδευσα προστάτην λεών,
Πάντ' εὐτυχῶς πάντεσσιν εὐθηνουμένη,
Ἀγαθῶν ἅλις βαλοῦσα, καὶ βίον πολύν,
Ὅταν δ' ἐπὶ ζυγοῖσιν ἑζόμην κράτους,
Οἷον κρατοῦντ' ἔοικε, κυμάτων ἄτερ,
Ζάλης τε νηλοῦς, καὶ πολυγνάμπτου δόλου,
Δίκῃσι δ' ὀρθαῖς, καὶ θεμιστείῳ βίᾳ
Πτόλεις διῃτήσασα παμφόρως μάλα,
Ὄλβου τ' ἐς ἄκρα ναυστολοῦσα μυρίους,
Δήμου ἀπ' ἔργων ἔξελόν γ' ἀσύλων.
Κᾀυτὴ ζυγὸν δύστηνον εἰσέβην· τί δ' οὔ;
Εἴδ' ἐκ Θεοῦ πέφυκα, ἀλλ' οὐκ ἦν Θεός.
Θνητὴ δ' ὅπως στολμοῖσιν ἡρμόσθην βροτῶν,
Πολλαῖς τ' ἐτρίβην κοιράνων ἐναλλαγαῖς.
Καὶ γὰρ κακοῖς θήτευσα, παρανόμοις θ' ὁμοῦ,
Ἔργοις ἀλιτροῖς, καὶ δυσεκνίπτοις κέαρ
Λύσσαισιν ὡς ἔκπαγλον ἐξῃσχυμένοις.
Ἔνθεν κυλίσθη πῆμα μοι μολὸν μέγα,
Βλαφθεῖσα τ' ἄταις πλοῦτον ὃν εἶχον τὸ πρίν,
Μορφήν τ' ὄλεσσα, πᾶν τ' ἀφῃρέθην κλέος.
Ἀνδρῶν δὲ χειρωθεῖσα πολλάκις βίαις,
Μέλη σπαράχθην καὶ κατανάλωμαι κακῶς.
Καὶ ταῦτα μέν τοι οἰκτρά· καρτερεῖν δ' ὅμως,
Τάχεν Θεὸς δέδωκεν, εὐμενῶς ἔδει,
Φέρειν τε ῥᾷστα ξυμφοράς· ἐπεὶ δέ τις
Οἷον λέων δαφοινός, ἢ βαρὺς δράκων,
Μονιός τε σῦς, οὐδ' οὐδ' ὄνομ' ἐννέπειν καλόν,
Εἴ καί μιν αὐτὸς αὐτὸν ἐξ Ἄγαρ λέγει,
Σκυθικῶν ἐπαληθείς, Κασπίων τ' ἐρημάδων,
Ἠδ' εἴτι κείνων θῶκος ἐξωλέστερος
Ἡμῖν κυΐσκει ταῦτα, καὶ τρέφει τέκη,

Videre tenebris, audiere, et omnia
Novere, sensus erutos aliis palam
Interpretati namque flexibili impetu
Variè rotatas hinc et hinc stellas Poli
Oculatiores redditi tandem vident,
Circumvagosque cursu inæquali ambitus,
Seu stella nascens cladis auguritum gravis,
Felicitatum seu futurarum indicat,
Deductus astris animus hinc, calcat solum,
Et aperta pelagi dorsa, vel, si quæ intimo
Barathra recessu, penetrat, et latentia
Secreta rerum, generis et veram indolem
Cujusque falsitate non tinctam doli.
Omitto reliqua, quæ beant hominum genus.
Linguæ loquacis garrulos odi sonos.
Ego ipsa populis Imperatricis diu
Honore functa, principem gentem manu
Rexi potenti, plurimis auxi bonis,
Et copiosum singulis victum attuli.
Dum lance dextram, dum potestate extiti
Accincta lumbos, principem ut sanè decet,
Non fluctuanti, non procellosa stetit
Confusione, non malo regnum dolo,
Sed lege recta, vim volutanti inferens,
Summaque pacis administravi domos
Fæcunditate; plurimos altum prope
Beatitatis verticem appulsa rate,
Etiam execrandis liberavi ab operibus.
Et ipsa servitutis, heu, subii jugum.
Quid enim? propago Cœlica, at non sum Dea,
Mortalis ut quæ veste mortali obsita
Attrita toties Imperatorum fui
Mutatione: nam malis dum servio;
Scelusque tolero, corda dum fœda imbuit
Rabies, protervo cincta furiarum agmine,
Me fata gravibus impetivere undique

Ἕρψας τ᾽ ἀταρποὺς δυσϐάτους, πλέως φόνου
Θώκους ἐς ἀμούς, καὶ πολυλητους γύας
Στήριξε ταρσόν, τούς τε πρὶν σημάντορας
Θρόνων ἐλάσσας, αὐτὸς ἁρπάζει κράτη,
Ἄδικος, ἄπιστος, ἄθεος, οἶγμα δυσσεϐές,
Θερμοῖς ἐπ᾽ ἔργοις μοῦνον ὠφρυωμένος,
Ἀνδροκτόνοις ξίφεσσι προσφιλὲς γελῶν,
Νέκταρ δ᾽ ὄδωδ᾽ οἱ λύθρα, καὶ νεκρῶν βρότος,
Σάρκα θ᾽ ὑπερτίθησιν ἡδίστῳ τροφῇ.
Ὀθ᾽ οὕνεκ᾽ οὐδὲ μέμϐλεται Θεοῦ χέρα,
Οὐδὲ τρομέει σπεύδουσαν ἀντίην ὄπιν.
Ἀλλ᾽ αἰὲν ὤρσας δῆριν εὐσεϐεῖ λεῷ,
Σέϐας τὸ κείνου δυσμενὴς ἐλᾷ πρόσω.
Ὢ τῶν μεγίστων, καὶ πικρῶν ξυμπτωμάτων,
Ὢ τῆς ἀϐύσσου, καὶ ζάλης τῶν ξυμφορῶν,
Δεινὸν κλύειν μὲν αὐτά, δεινὸν δ᾽ εἰσορᾷν
Πάντων παθεῖν οἴκτιστον· ὦ Θεοῦ δίκη.
Τὶ πρῶτον, ἢ τὶ δεύτερον γράψω λόγῳ,
Ἐπιστροφαῖσι μυρίων τητωμένη
Κακῶν, παλαιαῖς αἰκίαις ἄλγος νέον
Εὖτ᾽ ἂν προσιζάνῃσι, καὶ τείρει κέαρ;
Τὶς, τὶς θαλάσσης βυσσόθεν κυκωμένης
Εὔρου, νότου τε, καὶ πνοαῖς ἁρπακτίαις
Βορρᾶ, κελαινὴν εὖτε θῖνα δυσπνόοις
Αὔραις κυλίνδει, καὶ δυσήνεμον πλάκα,
Ψάμμου τ᾽ ἀριθμὸν, κυμάτων τ᾽ εἴποι μέτρα;
Ὁ δ᾽ αὐτὸς, ὃν πίφαυσκον, εἰν ὀρεσκόοις
Φυείς τε λόχμαις, καὶ δυσεμϐάτοις νάπαις,
Τῇπερ νέμονται θῆρες, ἐντραφεὶς βορᾷ,
Δίψην τ᾽ ἀκέσσας χανδὸν ὑδάτων ἄπο,
Ἐὼν ἄπεπλος, κᾳνυπόδητος, εἰδέπω
Τυλωθὲν αὐχμοῖς σῶμα, καὶ νιφοστιϐὲς
Ἐρᾷ καλύψαι ἀμφιϐλήστροις ἀμφίοις,
Ῥακενδύτοις θ᾽ εἵμασσιν ἀμπίσχων δέμας,
Νῦν λαμπρός ἐστι χρυσῷ, ἀνθηρὸς πέπλοις
Πέδιλ᾽ ἐς αὐτὰ Σηρικὰς σύρων στολάς,

Vulneribus, et quas ante collectas opes,
Formamque habebam, perdidi; orbatum caput
Decore squallet, victa violenta manu
Artusque lacera, nunc malè absumor malis.
Miseranda, sed ferenda. Quæ immisit Deus
Toleranda placido facile sunt vultu mala.
Post cædis avidus ut Leo, aut sævus Draco,
Moniusve, cujus ne quidem nomen decet
Vocare, porcus, ut sibi patrium trahat
Ex Agare nomen, Caspia ejectus plaga,
Scythicaque eremo, si qua vel sedes magis
Letalis, istos hic mihi fœtus parit,
Nutritque, repens et per incultas vias
In tecta, et arva nostra fœcundis, sata
Segetibus, atro sanguine imbutus, pedem
Figit, thronisque Principum eversis, rapit
Regale sceptrum perfidus, et expers Dei,
Injustus; opere quippe sanguineo tumens,
Ridensque gladiis gaudet homicidis: cruor
Mortalium, et mors sola cui nectar sapit,
Carnemque sapidis ipse præponit cibis.
Nec præpotentis hic Dei curat manum,
Nec imminentem capite vindictam tremit,
Sed concitato prælio in plebem piam
Inimicus omnem, proh dolor! cultum amovet.
O maximorum casuum gravissimum!
O turbinem miseriæ! ó voraginem!
Audire durum, gravius aspicere, at pati
Miserrimum. Suprema te obtestor Dei
Iustitia, quos præfabor aut addam sonos?
Turbam malorum mille dum fugi, malis
Veteribus addit alter, et mentem premit.

Quis, quis, profundi gurgite inverso maris
Rapacis Euri turbine, aut gravis Noti,
Quando inquietis æquora et ripas agunt
Flatibus, arenas numerat, aut fluctus modum?

Καὶ χρυσονήτοις φάρεσσιν ὁπλίζει πέδον,
Κόνιν δ᾽ ὅπως τὰ πάνθ᾽ ὁ κακοχράσμων τιθείς.
Ἔπεσσ᾽ ὑπ᾽ αὐτοῦ πρὸς νεοῤῥάντῳ ξίφει
Ἥβη δαμεῖσα πᾶσα φοινίᾳ ζάλῃ.
Οὔμιν γερόντων ἀδρανῶν πολὺς στόνος,
Οὔμιν γυναικῶν δάκρυον γεραιτέρων,
Οὐ παρθένων ἔρευθος, οὐδὲ νηπίων·
Ἄσημος αὐδὴ, καὶ πολύκλαυτος γέλως
Διψῶντ᾽ ἐπέσχε λύθροιο, καὶ διασφαγῶν.
Λύσσαις δὲ συντρόφοισιν οἰστρηθείς, φρενῶν
Ἐκτὸς θ᾽ ὁμιλῶν, ἰνὶ μαινόλῃ θύων,
Ἔπεφνεν αὐτόῤῥιζον Ἑλλήνων γένος,
Ἅπαν πορεύσας εὐσκίους ἐς ἠόνας·
Χαλκῷ δ᾽ ἀλοιητῆρι μέργος ἐμπνέων,
Ἐς ἄχρι μαιμῶν αὐτόχειρ μνᾶται φόνους.
Ἴδες πότ᾽ ἀκταῖς χεύμαθ᾽ ὑδάτων τὰ πρὶν
Φίλαις ἐπεγγελῶντα σιγηλῷ ῥέει,
Ὄμβροισι πυργωθέντα μηνύειν ὅσοις
Ῥεῖθρον πεδῶσιν, ἄνετον εἴργοντες δρόμον,
Γαίης τότε πρόσωπον ἐκκλυσθὲν χάριν
Ἤμειψε, δένδρη τ᾽ αὐτόπρεμν᾽ ἀπώλετο,
Στέγη δόμων πεσοῦσα τ᾽ ἰσάσθη χθονί,
Δύσμορφα πάντ᾽ ἐπαιτιᾷ ῥείθρων ὕβριν.
Ἡ δ᾽ ὡς ὅθ᾽ Ἡφαίστοιο δήϊον μένος,
Ἀφθὲν λαφύσσει πάντα, καὶ φλέγει λάβρως,
Ἕως σποδὸν τέθηκε, καὶ κούφην σκιάν.
Ὡς οὐκ ἀνεκτὸς κλυσμὸν ἐννοῶν, ὅδε
Ἔθεν φρένεσσι, καὶ δυσιάτους φλόγας,
Αἰνὴν τε θνητῶν ἐξολόθρευσιν φύτλης,
Ἐξῆλθε πουλὺς ἀσκόπως παρεισφθαρείς,
Μέλαιναν αἶσαν πᾶσι, καὶ φονὴν ἄγων.
Ζώων δὲ πάγχυ, καὶ βροτῶν ὀλωλότων
Ἄπνουν κατηνάριξεν ἀβλαβῆ φύσιν.
Ἴσασσεν οὔρη, γαῖαν ὀρθώσας, ἄκρα,
Ῥάχεις τ᾽ ὀρύξας, καὶ παραθήσας πέδῳ,
Πόντωσε χέρσον, οἶδμα χερσώσας, χύσιν

Inhospitali rupe, quem dixi, modò
Ille ipse natus, aut per horrendi jugi
Salebrosa tesqua, pastus agresti cibo,
Quo vel feræ pascuntur, extinguens sitim
Hiante lymphis ore, qui nudus caput,
Pedesque callis obsitam, expositam nivi
Si tegere veste forte voluisset cutem,
Centone lacero membra texisset sua ;
Nunc splendet auro, veste nunc floret cutis ;
Stolasque cingit sericas pedum tenus,
Pallaque vile sternit aurata solum,
Dum cuncta cinerem pravus abjectum putat.
Mucrone madido flos juventutis tener
Cecidit, sub ipso turbine homicida obrutus.
Hunc imbecillæ non senectutis dolor,
Non fæminarum lachryma seniorum, pudor
Non virginalis, aut puellorum rudis
Loquela, flenti sed neque admistus sono
Risus cruenta cæde sitibundum arcuit :
Sed percitus furore nativo, gerens
Insanientem, stirpitus dextra impia
Genus immolavit omne Græcorum, Stygis
Tenebricosa transgredi jussum vada ;
Spiratque crudas ære vesano neces,
Memor cruoris effera sparsi manu.
  Lascivientes videris ripis aquas
Tacente latice, post inundanti ut ligent
Pluvia, fluenti concatenatos lacus
Palam exhibere, mutat irrigui solum
Vultus decorum, sponte nascentes cadunt
Sylvæ, domusque dirutæ æquantur solo ;
Visu indecora quæque fluvialem reum
Res criminatur : utque Vulcani ignea
Vis helluatur omnia, et latè vorax
Bacchatur, atra donec è pruna cinis,
Umbræque superant ; non secus ferri impotens

Τέρσηνε ῥείθρων, πίδακας αὐήνας ξένως.
Οὐχ εἶρψεν ἄρα ψεῦδος εἰς ἡμᾶς μολόν,
Ξέρξῃ πόθ' αὐτὰ ἐκβεβουλεῦσθαι τότε,
Ὅταν πρὸς ἁμὰ στέρνα μυριόναυν στόλον,
Πεζὸν δέ τ' ἀναρίθμητον εἰσώθει στρατόν.
Αὐτὸς πτόλεις ἔργοισιν εὐκλεεστάτας,
Καὶ δουρί, καὶ φλόγεσσι πέρσε παμφάγοις,
Κρήδεμνα λύσας, καὶ βαθυπλούτους στέγας,
Ῥήξας θεμέθλων, καὶ καταπρηνῆ βαλὼν
Θεοῦ τέραμν' ἄσυλα πρὸς γῆρας χρόνου,
Ἁρπαστὰ δῶκε κτήματα παμφόρῳ χερί.
Κευθμῶνας οἶξεν, ἔνθ' ἦσαν κεκλεισμένα
Νεκρῶν κλεεννῶν σώματ', οὐδ' ἔσχεν σέβας,
Κακῶς τ' ἔδρασσε τοὺς πάλαι τεθνηκότας.
Χρυσοῦ δὲ σωροὺς ἐξιχνοσκοπούμενος,
Στολάς, πέπλους τ' ἀπηύρατο, τάδε ἔσαν πέρι
Χρόνου μακροῖο λείψαν' ἐκλελειμμένα,
Ῥίψ' ἐκκαλύψας παίγνιον καταιγίσι.
Δεινοῖς δ' ἐπ' ἔργοις μᾶλλον ἐξάψας κότον
Θυμῷ νεμεσσηθέντι βουλεύειν νέον
Πρὸς ἄλλο πῆμα μηχαναῖς ἀναρσίαις.
Τέχνας γάρ, αἷς κόσμησα παντίμοις γένος,
Θνητῶν θυραίας ὦσεν, ὡς βλάβην, τάλας,
Ἔθητε βρότεια, καὶ πεπνυμένας φράδας
Θηρῶν ἀμείψας εἰς ἀνηλεγεῖς τρόπους.
Ὅπως δὲ πολλὰ μικροῖς ἐν λόγοις λέγω.
Σοφὴ σιωπᾷ γλῶσσα, καὶ τὰ προσφιλῆ
Παύσαντο δῶρα Μουσέων θυμηδέα.
Οὐδ' αὖ νοεῖ τίς, οὐδ' ἀκριβὲς ἐπίσταται,
Οὐ δ' ἔστιν ἄλλου δεικνύοντος μανθάνειν,
Οὐ δ' εἰ μάθοι, φύλαξε χρησίμως νόῳ,
Αἴ μηδ' ἐς ὕβριν ἔτραπεν, ἃ μαθὼν κυρεῖ.
Καὶ ταῦτα μέντοι κεῖνος ἐξειργασμένος
Ἄῤῥητά τ', ἄθεσμά θ', οὓς Θεῶν ἀνάκτορα,
Ἄκραντον οὐδ' ἦν ῥιφθὲν, οὐδὲ μὰψ ἔπος,
Πάντες κίκλησκον, κἀπεφήμιζον θαμά,

Diluvia mente, nec repulsandas faces,
Et universi generis exitium parat.
Dementiaque labefactatus venit,
Et cruda cunctis fata cædemque invehit.
 Viventiumque mortuorumque impio
Ferus innocentem, scelere, naturam excidit,
Æquavit imis summa, adæquatis jugis,
Rimasque fodiens subtus excusso solo
In maria terras vertit, in terras mare.
Siccoque fonte flumina arefecit novo
Tumere ; mendax fabula haud repsit quidem,
Xerxen idem voluisse, cum finibus meis
Mille et pedestres copias, mille et rates
Invexit ; urbes ille factis inclytas
Hasta, et favilla devoratrice obruit,
Pinnis revulsis, atque tectorum omnium
Locuplete cumulo, domibus ex ima erutis
Radice, demolitus annorum gravi
Intacta senio templa, divinas opes,
Iussit rapaci militum auferri manu.
Quibus jacebant ossa magnorum Ducum,
Aperuit urnas, in sepulchrali sacros
Honore manes sæviit nullo metu.
Auri talenta multa vestigans, stolas,
Et vela reperit, temporumque reliquias,
Ludibria ventis publica, effossas dedit.
 Feritate in ipsa gravior accendit faces
Invidia, casus mente furiali novos,
Iniqua et arte cogitat ; namque artibus,
Quibus excolebam generis humani feras
Miserata mentes, ceu malis, mundo procul
Valere jussis, indolem, et mores miser
Sapientiores belluinis ritibus
Immutat : et quò multa breviori explicem
Sermone, prudens lingua consultò tacet,
Donaque mearum grata Musarum tepent.

Χώρους ἐγὼ κατέσχον εὐμοίρους πτόλεις,
Πάσας ἀπηνθράκωσεν ἰσώσας πέδῳ.
Ὦ βάθρα, καὶ τέραμνα, καὶ Θεῶν δόμοι
Ἱεροί, θρόνοι θ' ὕψιστοι ἰφθίμων πρόμων,
Οἰχώκατ', ἐπέσετ', ὀλώλατ', οὐδὲν ἔστ' ἄρα.
Θὐδέν, φίλ', οὐδέν· σκόρπισεν αὖρα καὶ σποδόν,
Οὐδ' ἦν ποτ' ἦτ', ἴσασιν ἴδριες μόγις.
Τὶ Κερκέτας, Βούσηρας, ἢ Σιντοὺς λέγω,
Κόλχους, Κοραξούς, Ἱππόποδας, Ἐκεχειριεῖς,
Πέρσας, Ἄραβάς τε, διχθὰ καὶ δεδασμένους,
Ἀγκῶσιν ἑσπέροισιν, ἠδ' ἀντηλίοις
Πληθύν, νέφη ὥς τ' Αἰθιόπων, ἐπίτρομον,
Ἄλλους τε πολλούς, οἳ νέμονται μυρίοι
Τρισσοῖς ἐπ' ἠπείροισι νώνυμοι γένος,
Βροτοῖς τ' ἄφαντοι, ἐς τοσόνδ' ὑμνημένοι,
Ὅσον πρὸς Ἑλλήνεσσιν ἔμμορον κλέους,
Ἤθη τε κείνων δεξιωθέντες σαφῶς,
Φύσιν κατηλλάξαντο πρὸς τὸ εὖ φρονεῖν.
Σὺ μοι δέδυκας ἄστυ κλεινὸν Ἀσίδος,
Πύργοισιν ἀρραγέσσι θηλείας χερός,
Τοίχοις, βατοῖς τ' ἅρμασσιν ἐξεστεμμένον
Μέση παγεῖσα κυμάτων θοωτάτων,
Βηλοῦ τε σηκῷ, καὶ διηερίοις ἀγροῖς,
Τάφος γεγῶσα πᾶσιν· ἤριπες σὺ δὴν
Τετράπτολις συναρθμίοισιν ὁρκίοις,
Πιστῷ τε θεσμῷ εὐφρόνως κυδουμένη,
Τῷ καὶ καλοῦνται γνωταὶ ἀλλήλων φίλαι,
Ἀγλαὸν Σελεύκου κτίσμα τοῦ Νικάτορος.
Ποῦ δὴ βέβηκας Βριτομάρτιδος θρόνος
Ἀρχαῖος, ἧπερ οὐρανοῦ εὐρεῖς πτύχας
Αὐτὴ λιποῦσα προσφιλεστέραν στέγην
Ὤκει τε, κᾀκήδευε παρθένος Θεά;
Σύ δ' ἐν βυθοῖσιν ἁλμυροῖς κεκρυμμένη
Εὖτ' ἂν δέδαστο πάντα θεσκέλῳ λάχει
Θεοῖς ἀγήροις, φωτὸς ἠράνου χάριν
Βλάστες θαλάσσης ὡς νεηγενὴς κόρη,

Qui scire quisquam possit, aut verè sciat
Desideratur, discere et nemo potest
Alio docente, sive didicerit, nequit
Referre prudens utili fructum modo;
Utinamque in omne non abutatur malum!
Iniqua postquam, digna nec fatu mala
Sic perpetravit ante regnatam Iove
(Nec falsa dico, verba nec frustra cadunt,
Sic nominata est, sic celebrata omnibus)
Terram incolebam, civitatesque optimas,
Quas stravit et succendit. O sedes sacræ!
O et Deorum tecta, et excelsi throni
Generosiorum Principum, eversi, obruti
Evanuistis! nil super, ô hospes! nihil;
Abiit in auras pulvis, an fuerit quidem
Vix scitur. An Buseras, et Sintos truces,
An è Coraxo, aut Colchide oriundum genus,
Arabasque referam? fileo Cerceti incolas,
Ececherios, Persasque, et Hippopodas feros,
Nubemque gentis plurimam, Eoo die,
Et occidente bina quam separant freta,
Aliosque mille, qui tribus terræ plagis
A se remoti nomine et titulo carent,
Incelebre mundo, nec celebrandum genus
Nisi dignitatis particeps Græcæ foret;
Ritusque mutuando vivendi meos,
Prudentiorem reddidisset indolem.
Submersa quippe es civitas Asiæ potens,
Murisque pridem cincta fœminea manu,
Vallisque firmis, quamque fluviorum latex
Hinc inde binus lambit, aëreis agris,
Belique templo clara, visaque omnibus
Miraculosa. Tuque Tetrapolis, fide
Et æquitate celebris, et amicæ priùs
Gavisa dextræ fœdere, Sororum pie
Decorata titulo, nobile Seleuci jaces

Κάλλει πρέπουσα, καὶ στολαῖς πανολβίοις
Εὔκοσμος, ὅσσον οὔτις ἄλλη ποντίων
Πρὸς οἰδμάτων κλυσθεῖσα, κυμάτων κρατεῖ.
Εἰ καὶ πάροιθεν ὄμβρον ἀρτύνεις ξένον,
Ὅν σοι Θεῶν ἔβρεξε, καὶ βροτῶν Πατήρ,
Χρυσαῖς ψεκάσσι προσδιασπείρας τὸ πᾶν,
Ἀλλ' οὐκ ἄρηξεν ὄμβρος ὁ χρυσοῦς, τὸ μὴ
Σε οὐ κατάκρας ἐκπεπορθεῦθαι κακῶς.
Ὦ θῖνες, ὦ κρηπῖδες, ὦ Λέσχαι, Στοαί,
Καὶ Ποικίλαι καὶ σεμνὰ γῆς Ἰωνίδος,
Τάπερ Μέλητος ἡδύ, κάλλιστον θ' ὕδος,
Ὢν ἴσμεν ἡμεῖς, προσβολαῖς πεδέρχεται,
Ὀλώλατε πάντα θανασίμῳ πεσήματι.
Ὦ κλεινὸν Ἄργος, καὶ Μυκηναῖαι πλάκες,
Σπάρτη, Κόρινθος, Πήδασος, Δύμη, Πάτραι,
Φλιοῦς, Κλεωναί, Ταίναρος, Γερηνία,
Μεγάλη πόλις, Πάμμησος, Ἑλίκη, Στέμφυλος,
Ἐπίδαυρος, Ἦλις, Οἰνόη, Σικυών, Φεραί,
Μενεγχέων ἄλλαι τε μυρίαι τροφοί,
Τὰς ἀμφὶς ἀγκώνεσσιν Ἥρωος σχέθει
Λυδοῖο νῆσος εὔνομος, πρινὴ Θεοῦ
Σέθεν κάρητι λάβρον ἐμμάξαι κότον,
Ζυγοῖς ὑφ' οἵοις δυσκλεῶς θητεύετε;
Πονοῦσι θ' οἷοι νῦν ἐφεστᾶσι σκοποί;
Ὡς ἐκ μεγάλου γέγονας ὀλίγος σύ, κ' οὐδεέν,
Αὔχαις κενεφρόνεσσι λυσσήσας ποτέ,
Νῦν δ' αἶψα κλινθεὶς ἀφθίτων χειρῶν ὕπο
Νήσοις περιδρόμοισιν Αἰγαίων σάλος
Κομῶν ἀπείροις ἀστέρων πόλου δίκην.
Ποῦ σοι καλοῦ Γέροντος ᾤχεθ' ἑστία,
Ὃν οὐκ ἔσεισαν ἄσπεθ' Ὑστάνου γέρα,
Ὑποσχέσεις τε Περσικοῦ φρυάγματος;
Ποῦ σοι τάφων Ὁμήρου οἰκουρὸς σπιλάς;
Ἱρῷ τε Φοίβου, καὶ τροφοῦ Κοικηΐδος
Κύνθου πρὸς αἶπος εὐι' ὠργιασμένη.
Κείνου τε πάτρα, δι' ὃν Λυκάμβης, καὶ κόρη

Nicatoris opus. Quo Throne abiisti vetus,
Qua parte linquens Virgo bipatentes poli
Britona valvas, cara dilectæ domus
Tecta incolebat, imperabatque optimè ?
Immersa tuque gurgite profundo salis,
Dum cuncta superis dividebantur Diis
Diviniori sorte, lucentia Dei
Causa, exilisti Nympha, ceu pelago recens
Generata, specie pulchra, felici stola
Ornata, supra quas modò cumque intumens
Aspergit æquor, quæ maris fluctum regant.
Licet insolentes imbrium guttas bibis,
Quas tibi Deorum stillat atque hominum Parens,
Dumliquidus aureo rore fœcundat solum,
Non juvit imber aureus prorsus malè,
Ne perdereris ; ô Scholæ ! ô ripæ ! ô bases !
O Pœcile, Stoæque Ioniæ decor !
Quam latice, quo docemur, epoto, Meles
Amænus ambit, sorte lethali omnia
Periistis . Argos, et Mycenææ plagæ,
Sparte, Corinthus, Pedasus, Dyme, Patræ,
Phlius, Cleonæ, Tænarus, Gerenia,
Megalopolis, Pammesus, Helice, Stemphylus,
Epidaurus, Elis, Oenoë, Sicyon, Pheræ,
Aliæque alumnæ mille clarorum Ducum,
Quas flexuoso brachio Herois Lydi
Tenet Isthmus, ante lege regnatæ optima,
Quam vos Tonantis perderet vindex manus,
Cui subdidistis, heu, jugo miserum caput !
Operibus instat quanta speculantum cohors !
O quàm pusillus factus, è magno priùs,
Inanis animi gloria pridem furens,
Nunc præpotenti quàm citò eversus manu
Circumfluis aspersus hinc inde Insulis,
Quantis Polus syderibus, Ægæon sinus.
Ubi sapientis jam senis restant lares,

Δέρην πέλασσαν ἀγχόναις μετάρσιοι;
Ποῦ Βακχυλίδεω, καὶ Σιμωνίδου φίλων
Θρέπτειρ' δμαίμων, ἠδ' Ἀρίστωνος σχολῆς
Περίπατος, ἣν φήμιξεν ὀμπνίου γόνου;
Σύ μοι μόνη μένησθα συμφορῶν μέση,
Ζάλης ἄγευστος, ὡς ἔοικεν, ἄστρον ὡς
Κοινῆς τύχης, πημονῶν τ' ἀνωτέρα,
Οὔπω κατακλυσθεῖσα κυμάτων φοραῖς.
Καὶ γὰρ πρόσεστιν ἐς τόδ' ἦμαρ εἰσέτι
Λαμπρὰ φρόνησις, ἀξίωμά τ' εὐγενὲς
Ἀστοῖσιν, οὐδὲ θαῦμα, γέντο γὰρ φυτῶν
Ἐξ εὐγενῶν, τράφεν τε κ' εὐγενῶς πάλαι,
Ὅθεν πρὸς αὐτοῖς ἡ ὑγένεια σώζεται.
Νήσων σύ μοι ἁπασέων λιπαρωτάτη
Κεῖσαι θαλάσσῃ βάθρα πήξασ' ἔμπεδα.
Καὶ γὰρ παλαιοῖς ὥσπερ ἐν χρόνοις πόρες
Βουλήν, ἔπος, φρόνησιν ἄνδρας δεξιοὺς
Κρέσσους τ' ἀριθμὸν Μητροδώρους, Θεοκρίτους,
Σκύμνους, Ἴωνας, Οἰνοπίδας, Δημοκρίτους,
Σιγῶ Θεοπόμπους, πρὸς δὲ τοῖσδεσιν στόμα
Μουσῶν, ΟΜΗΡΟΣ, ᾧπερ ἐξειργάσατο
Θεοῖς φθονητὸν αἶνον, οὐ θνητοῖς μόνον.
Χίος σὺ δ', ὡς ἔειπον, οὐκ ἴσως κακοῖς
Ἄλλαις φθαρεῖσα πόλεσι, δουλεύεις δ' ὅμως
Δούλευμα λυγρὸν ἢ τοσήδ' ἀναξίως.
Ἔῤῥει τὸ σεμνὸν εὖχος καὶ τὰ καίρια.
Ἔῤῥει τ' Ἀθηνῶν θειότευκτος ἑστία,
Ἧς Ζεὺς βαθρ' ἐστήριξε, τεῖχος δ' αὖ πέριξ
Ἄρης ἔλασσεν, Ἴσθμοις τειχῶν ὕπερ
Ἄνστησε πύργους, Παλλὰς ἴθυνε τρίβους,
Δόμους ἔτευξεν ἀμφὶς Ἥφαιστος, στοὰς
Ἑρμῆς ἔδειμε, γράψε Φοῖβος, Ἄρτεμις
Ἤγειρε παρθενῶνας, Ἀφροδίτη κάμε
Τεύχουσα λουτρά, Βάκχος ὀρχάτους, Θέμις
Πρυτανεῖον, αὐλὴν θέσμιον φύλαξ Δίκη·
Ἦν εἰκὸς ἄρα τιμιωτάτην πόλιν

Immensa quem non munera Hystani suo
Movere studio, Persico aut fastu diu
Promissa merces; ubi sepulchrales latent
Lapides Homeri, Cynthii aut templo Dei,
Cæceidosque celebris od Cynthi jugum,
Bene culta sacris terra famosa orgiis;
Ejusque patria, cujus offensus modis
Sublime resti guttur admovit parens
Unà Lycambes ipse, cum prole unica?
Affinium Bacchylidis et Simonidis
Alumna tellus, ubinam Aristonis Schola,
Authore primo fama quàm celebrem facit,
Et ambulacris? Inter ærumnas manes.
Expers procellæ, stella ceu Cœlo micans
Miseranda supra fata, casusque asperos,
Non hausta rapido sola, quà par est, salo.
Nam civibus superstes hanc usque in diem,
Prudensque nobilisque mens adhuc viget.
Nec est stupendum; namque generosa sati
Sunt stirpe cives, nobili imbuti Patrum
Primis ab annis laude, virtutis tenent:
Hinc es paternæ nobile etiam num decus.
Nunc Insularum tu mihi potior jaces,
Quæ firmiores stabilis in ponto gradus.
Namque ut vetusta subministrasti Patrum
Ætate, profers mentis, eloquii modò,
Prudentiæ que fertili fructus satu,
Numerosiore copia, et doctos viros,
Scymnos, Ionas, Metrodoros, Theocritos,
Democritos, omitto Theopompos loqui,
Oenopidas, et qui lingua Musarum loquax
HOMERUS, homines non modò, sed ipsos Deos
Livore pupugit, gesta memoranda intonans.
Ut civitatum sorte, quas dixi, pari
Exhausta non sis, tu tamen servis Chios,
Et servitute talis indigna jaces.

Κυρεῖν ἁπασέων, ἔργον εὖτ' ἂν ἦν Θεῶν.
Ἀλλ' ὤλετο κᾳὐτή, πρός τε λυσσῶντος κυνὸς
Πάμπαν διεσπάρη τε, καὶ κατεσκάφη,
Ἄταις πεσοῦσα δύσμορος θεηλάτοις.
Φραδαὶ δ' ἐκείνης, γλῶσσα τ' εὐφραδής, λόγοι
Στολμοῖς πρέποντες ποικιλομόρφοις, αὐτὰ δὴ
Τὰ Μουσέων ἄποινα, καὶ μειλίγματα,
Πόνοι τε χειρὸς ἵστορος, καὶ χρονοτριβεῖς
Παῖδες φρενός, τὰ πάντα, φεῦ, φροῦδ' οἴχεται.
Οὐδ' ἔστιν εἰδεῖν λείψανον, ὧν εἶχε καλῶν.
Τῷ πρὸς γόους τε, καὶ γέλωτ' ὀφλισκάνει.
Ὁ νῦν δὲ μῦθος ἦλθεν, ᾗ τομώσατος
Δέμας σπαράττων τοὐμὸν ἀλγύνει κέαρ.
Καὶ γὰρ πόλις Βύζαντος Ἡράνων ἕδρα
Διττὰς θαλάσσας, τήν τε Βόσπορος χέει,
Τὴν τ' ἀμφὶ Πόντος, θισὶ δεξιουμένη,
Ἣν εἶδε πώποθ' ἥλιος εἱλίσσων σέλας,
Ἤτ' οὖν ἑῷος ἦμαρ ἀνθρώποις ἄγων,
Ἤτ' οὖν σκιᾷ γῆν ἕσπερος κλίνας ζυγά,
Μέσ' ἦτε θέων κέλευθα θερμαίνει φλογί,
Ἤτ' Ἀντίποσσι πυρσὸν ἀκοντίζων βαρύς,
Καὶ τὶς δ' ἂν ἀρνήσαιτο ; τιμαλφεστάτη,
Καὶ χερσί, καὶ μήχεσσι, καὶ τρυφαῖς πολὺ
Πασῶν ὑπερφέρουσα πολλῷ τῷ μέτρῳ.
Ἧι δὲ κράτους ἕδρασσεν ὁ κραίνων Πόλου
Σκῆπτρον κραταιὸν ἐξισούμενον χρόνῳ,
Κρατοῦσιν ἄλλοις σκῆπτρον εὐνομίας κανών,
Σκῆπτρον μόναρχον, σκῆπτρον, εἰ ΠΕΤΡΟΥ μόνον
Ἓν ἐξέλῃς, κύδιστον, ὕψιστόν θ' ὁμοῦ.
Ἔσβη δὲ κᾳὐτὸ οὔτι κατ' αἶσαν, παμφάγου
Πρὸς τῆς δε λύμης ἐξαφανισθὲν ἀθλίως.
Οἵδ' αὖ προτοῦ κρατοῦντες, ἥρανοί τε γῆς
Γαίας πατρῴας, καὶ δόμων ἐγχωρίων,
Ἱρῶν τ' ἀγανῶν δηρὸν ἐξενωμένοι
Χρόνον πλανῆται δύσμοροι, οὐδὲν θ' ὑγιές,
Ξέναις ἐπ' αἴαις ἐμπορεύονται βίον,

Tot commodorum decora, tot honoris tui
Periere: periit Ara divina manu
Fabricata, Athenæ, cujus exstruxit gradus
Tonante dextra Iupiter, murum ferox
Mars egit; undæ præpotens murum super
Turres locavit; docta direxit vias
Minerva, pinxit Phoebus, erexit domos
Vulcanus, Hermes porticus, claustra Artemis
Virginea, thermis elaborandis Venus
Sudavit alma, dirigendisque ordine
Plantis Iacchus, aurea adjecit Themis
Prytanea, custos juris augustum forum
Iustitia; decuit Urbem honoratam dare
Mandata reliquis; fabrica Deorum fuit.
Sed et ipsa periit, dente rapiosi canis
Lacerata penitus, jamque divinis jacet
Prostrata flagris; sensus, et vario decens
Lepore sermo, dona Pierii chori,
Et blandientum dulcis Aonidum favor,
Doctaque factus arte cum studio labor,
Omnesque partus ingeni, heu, vanè ruunt.
Monumenta non est pristini ut videas boni,
Memoranda luctu publico et risu patent.
Narrationis sermo non fictæ sequens
Mucronis instar corda mærore afficit,
Laceratque pectus: Imperatorum thronus
Byzantium quà Pontus, et quà Bosphorus
Hinc inde geminum cingit aggeribus mare;
Quascunque mota lustrat ignitas face
Apollo terras, sive ab Eoa diem
Regione ducit, seu tenebroso tegit
Agros amictu, plaustra submergens mari;
Mediam favilla sive succendit viam,
Propiorve prono lumine Antipodas ferit,
Quis hoc negarit? et manu, et luxu, omnium
Prudentiaque principem locum tenet.

Κενάς, ἀπρήκτους τ' ἐλπίδας σιτούμενοι.
Κεῖνος μ' ἔοργεν οἷα δὴ κλύεις Ἄναξ,
Νῦν θ' οἷα με δρᾷ δηΐων καθ' ἡμέραν
Ἄλλων ἀκούεις· γλῶσσα γὰρ στυγεῖ θροεῖν.
Καὶ τῶν δὲ μέντοι πημάτων μετάστασιν
Κιχεῖν ἄελπίς εἰμι πρός τινος βροτῶν,
Ἐπεὶ βέβηκεν ἀνδρομέης ἀλκῆς ὕπερ.
Ὡς δ' ἐν Βίβλοισι Θεσφάτων ἰδοῦσ' ἔχω,
Κάκ' ἐξερύσσει ΓΑΛΛΙΚΗΣ ἀφ' ἑστίας
Ἄναξ φυτευθεὶς ὀκτάδος τρίτης μέτα
Χρόνων ἀτέκνοις ἐν λαγόσσι μητέρος.
Ὅταν τ' Ἐριννεῖς, καὶ κελαινεγχὴς Ἄρης
Πάσης δονήσει ἕδραν' Εὐρώπης, χθόνα
Λύθρῳ μιήνας, καὶ κατασκάψας βάθρα,
Χαρίεντά ποτε πρόσωπα καταισχυνεῖ κακῶς.
Καὶ κῆρ ὀρίνας ἀλλοπροσάλλοις σφαγαῖς
Κελτῶν, Ἰβήρων, πρὸς δὲ Γερμανῶν χέρας
Ἠδ' Ἰταλῶν ἔκπαγλον αἱμάξει, τότε
Ὅταν γ' Ἄνακτι πατρὶ συγκαθήμενος,
Ἔργων ἔφεδρος, ἰθύφρων, κράτους σκοπός,
Οὔπω φίλοις ἀτηρός, ἀλλ' ὀνησίμους
Χρείας πορίζων ξύμφορος Κελτοῖς παρών.
Κοσμῶν ὃ δύσαθ' εἷμα, καὶ κοσμούμενος
Αὖθις παρ' αὐτοῦ βυσσοπορφύρου πέπλου,
Ὃν ἐκ στρόφιγγος γλῶσσ' ὀνόμηνεν Αὐσόνων,
Ὅτ' ἐν θρόνοισι θειοτεύκτοις ἵζάνων.
Ἱροῖς Πέτρου μέδοντος, ἠδ' ἡγήτορος
Πρεσβηΐων Πέτροιο σύγκληρος, λεῷ
Χριστωνύμῳ θέμιστας ἐξείπῃ σαφῶς.
Καὶ χρηστὰ πᾶσιν ἀφθόνως δωρούμενος
Λόφοις ἐφ' ἑπτά, ἀσκηθῆτε, καὶ σῶον
Πολλῶν φυλάξας ἐκτὸς ἐλπίδων πόνων,
Ἄλλων βλαβέντων χῶρον ἐξερύσσεται.
Τοῦ δ' οὔτις ἄλλος φέρτερος θρόνους Πέτρου
Ἔχει πυκάσσας, οὐδ' ἐς ὕστερον ποτὲ
Ἄλλος τόσον ἔργον ἁρμόσει, καὶ γὰρ μόνῳ

Hic stabiliendum sanxerat Rector Poli
Regale sceptrum, temporum nullas vices
Subire jussum, juris et normam sacri,
Sceptrum supremum, si modo sceptrum PETRI
Altissimumque gloriosumque eximas,
Ingloriosè periit absorbtum lue
Vorante, miseris atque deletum modis:
Quique imperabant ante terrarum Duces
Solo paterno, laripus, et avitis procul,
Illustribusque tam diu extorres sacris,
Errore misero per peregrinas plagas,
Vanisque pasti spebus haud sanam trabunt
Sine opere vitam. Clade me quali furens
Obruerit audis; at quibus nunc me in dies
Tyrannus ille pectore hostili premat,
Audis ab aliis; lingua tristatur loqui.
Reperire nequeo qui ferat malis opem,
Iniquiorem posse mutari statum
Diffisa; superat namque quas, vires, libet
Industriosæ mentis. Ut sanctis tamen
Oraculorum video mandatum Libris,
Rex GALLICANIS unus oriundus plagis,
Octona Phœbo spatia per ternas vices
Volvente, sterili matris in gremio satus
Me liberabit; cùmque Furiarum cohors,
Atraque et hasta polluens turpi solum
Tabo, et profundos sede convellens gradus
Mars universæ quatiet Europæ statum,
Terræque pulchros ense fœdabit sinus,
Et excitabit, strage diversa, feros
Celtas, Iberos, atque miserandum in modum
Germaniarum gens, et Italiæ, manum
Cruore sparget; cumque regnanti propè
Patri assidebit ipse consilii arbiter,
Regnique custos, mente prudenti sciens
Non premere amicos, utili at pressos ope

Κρείων τὸ δ' ὤφλε πρᾶγος, ὡς φιλουμένῳ.
 Καὶ ταῦτα μὲν τόσοισιν ἐν κύκλοις χρόνων
Οὔπω συνῆλθον εἰς ἕν, ὡς τὸ Θέσφατον
Σαφῶς ἔνισπεν οὐκ ἐτωσίοις λόγοις,
Εἰμὴ τόδ' ἦμαρ, εὖτ' ἀπαίδων ἐκ γονῶν
Ἔβλαστες, Ἥρως τ' ἐστὶ σῷ τοκεῖ κράτους
Βούλαρχος, ἀσφαλής τε χρησίμων φύλαξ,
Σωτὴρ ΡΙΧΗΛΕΥΣ, κἀπαγώνιος φανείς.
Ἵζων τε πρὸς κλισμοῖσιν ΟΥΡΒΑΝΟΣ Πέτρου
Σκῆπτρον νομεύει πᾶσιν εὐθυντήριον,
Θνητῶν ὁδηγός, καὶ ταλαντοῦχος μέγας,
Στάθμη τε μύστων ἀκριβὴς φρονημάτων.
Πύχ' ὃς στραφεὶς φρονήσεως, Δίκης θ' ὕπο,
Τροφεῖ' ἀμοιβὰ ταῖς φυτευσάσαις νέμει.
 Ἴθ' ὦ, ἴθ' ὦ' ναξ, βάσκ', ἐπάρκεσον φίλῃ,
Ἐμοί δ' ἀρωγὸς ἐλθέ, τῷ Θεῷ θ' ἅμα.
Γενοῦ τύχης τιμωρός, εὐμενὴς πόνων
Κοίνωσον, ἄταις δ' ἐν ὑστάταις προσμάχει.
Θεοῦ τ' ἐφετμὰς κρῆνον· ἆρ' οὔτι φρονεῖς;
 Τίμοι, τὶ δηρὸν ἔργον ἀμβάλλεις; μέθες,
Μέθες δύσοργον εἰς ἀναστάσεις δόμων.
Ὅπλοις πέφραξαι, πρὸς δὲ τοὺς πέλας θύεις.
Θώρηξ προλάμπει, ἀλλὰ συγγενεῖς φοβεῖ.
Ἔστ' ἀμφίθηκτον ἄορ, ὀξὺ δ' αὖ δόρυ,
Πιστῶν δὲ λύθροις ἡματωμένον, κατὰ
Βαλόντος αὐτὸ μαίνεται, διψῶν μένους.
Κράζουσιν αὐλοί, ἀλλ' ἐφ' ὑσμίνην μέλος.
Σάλπιγξ ὑπηχεῖ, ἀλλὰ σημαίνει φόνον.
Σοῖς φιλτάτοισιν, ἐνδ' ὑπερμάχει βοᾷ
Πεζοί τ', ἴδ' ἵππων, καὶ νεῶν ἐπεμβάται,
Οἳ Θεῷ μέμηλον, οὐδὲν αἰτίους βροτοὺς
Ἄνδρας, γυναῖκας θ' ὕβρεως ἀκηράτους
Τείροντες, ἐκπέμπουσιν οἰκτίστῳ μόρῳ.
 Ὦ χερσί, καὶ κτήμασσι, καὶ ψυχῇ σθένων
Τρέψαι πότ' ἤδη Ἄρεως παρποδίου νέφος,
Ἀκτὰς πορεύων πρὸς Ἀχερουσίας Ἄναξ,

Iuvare, GALLOS atque tutari suos,
Et sacrum honorans, atque honoratus sacro
Murice, Latinum Cardo cui nomen dedit:
Et in supremo cùm Petri sedens throno
Sacra moderantis, et sacerdotum ducis,
Consorsque Petri jura Christicolæ dabit
Manifesta plebi, copioseque omnibus
Largitus, omni, supra, ereptam malo,
Salvamque reliquis corruentibus, jugo
In septicolli conditam Romam eximet.
Non ullus illo melior augustàm Petri
Fulcivit ædem, nemo præterea geret
Tot opera, amico quæ suo imposuit Deus.
Et ista, lapsas post tot ætatum vices,
Congruere nondum visa, divinum velut
Oraculum sermone non dubio edidit,
Nisi hac serena luce, qua prodis puer
E ventre sterili, jamque consilii potens
Assessor, atque commodorum pervigil
Defensor, et Servator, athleta inclytus,
Heros parenti RICHELIUS adest tuo;
Petrique sedem sceptraque URBANUS tenet,
Mortaliumque ductor, examen sacræ
Moderatur æquum mentis, atque ipsa piæ
Nutritus Æquitatis, et Sophiæ manu,
Alimenta alumnis grata partitur suis.
Eja ergo, Princeps, eja age, et charam adjuva,
Ades mihi prodector, et sortis, Deo
Iuvante, vindex; operis in partem veni
Benignus, extremumque propugna malum,
Divina jussa perfice; annon hæc sapis?
Diuturna quorsum bella tu differs; sine,
Sine, destruendis domibus, irasci ferox.
Munitus armis, proximo insultas tuo;
Pectusque lucens ære, cognatos tuos
Exterret; hastæ cuspis, et gladii, latus

Οἵ μ' ἐξέτριψαν, ὀσμενῶν βαρεῖς στίχας.
Αἶρου μ', ἢ γὰρ ἰσχύεις, ἐκ κακῶν βάθους,
Ἀνδρῶν ἁπάντων ὄλβον εὐτυχεῖμόρῳ
Ἅλις γ' ὑπερσχών, σκῆπτρα κηδεύων χθονός,
Τῶν ἅσσ' ὀπάζει γαῖα ἐμβριθοῦς πέδου.
Καὶ πεμμάτων ἄπεστιν οὐδέν, ἐν τ' ἀγροῖς.
Κτήνεσσι, καὶ πυροῖσιν, ἐνθέ θ' ὕδασιν,
Ἔλλοψιν, ἐνδ' οὔρεσσιν εὐθηνουμένου
Καρποῖς τε, χρυσῷ, κ' ἀργύρῳ, ἐνδ' αὖ δόμοις
Ῥυδὸν πάρεστι πάντα χλιδαῖσι φίλα.
Παντᾷ δὲ πλῆθος ἀσπιδηφόρων βρέμει,
Παντᾷ δ' ὁπλῖται χάλκεοι, ἐς ἀλκὴν θρασεῖς.
Ἱππεὺς δὲ παντᾷ θάρσος ἐν στήθεσσ' ἔχων,
Ἱπποκρότοις πεδίοισιν ἐντρέχει ταχύς.
Πρὸς τοῖς στρατηγοὶ ἀσφαλεῖς, μαχήμονες,
Ἄρην πνέοντες, καὶ μάχης δαήμονες
Πάσης, στρατῷ τ' ἐρυμνὸν ἕρκος· τοὺς δ' Ἄναξ
Πέμψαι κατ' ἐχθρῶν, πημονῶν τέλος τάμε.
 Τά τ' ἄλλα πολλὰ πρόσθεν ἐκδέξω πτερὰ
Νίκης, πάλιν πείρασε· νικᾷν σ' οὐ ξένον.
Ὁ δ' ἐχθρὸς εἶδε, καὶ πεπείραται δόρυ,
Ἔγχος τε βληθὲν ΓΑΛΛΙΚΗΣ χειρὸς πάρα,
Ἀρατὸν ὅσσον ἕλκον ἐμβάλλει φρεσίν.
Αὐτοῦ βίην ἔδρυψας ὠφρυωμένην,
Οὐχ' ἑσπέροις μέρεσσιν ἐξαρκουμένου,
Αὐτὴν δ' ἐς Ἄρκτον, Κελτικάς τ' ἐφ' ἑστίας
Διψῶσαν ὠδίνοντος ἀδεὲς φόνου
Δεινὴν ἀπειλήν. Ὡς ἔπος δ' εἰπεῖν, Τοκεῖς.
Οἵ σ' ἐξέφυσαν λαμπροὶ εἰς γένος πάλαι
Αὐτοῖς ὅτ' οὐκ ἦν ὄλβος, ὅσσος νῦν πάρα,
Ἀδρὸς δ' ἐκείνῳ· ἦν γὰρ εἰν ἀκμαῖς νέῳ.
Κόλπων θοῶς ἀπῶσαν ἐξ ἐμῶν πρόσω.
Ἐκ δ' ἐξέλυσσαν αἶαν, ἣ Σωτὴρ βροτῶν
Ἔφυ κυηθείς, καὶ τραφεὶς ἐκτήσατο,
Ὃν αὐτὸς ἤθελε μόρον ὠμῶν πὰρ' φίλων,
Νεκρὸς τ' ἐσῆλθε τύμβον, ὡς θνητοῖς ἔθος.

Utrumque, acuta est, Christianorum tamen
Cruore sudat, inque jaculantem redit;
Tibiæque clamant, sed melos bellum movet;
Clangore litui proximis cædem indicant;
Pugnaque in, ipsa navium, et peditum cohors,
Equitumque grata Numini, gratos Deo,
Nulloque scelere conscios, vexat viros,
Et illibatas in necem uxores trahit.
O! qui valore, qui manu, atque opibus potes,
Aliquando Martis dissipare nubila
Usque in paludis littora Acherusiæ,
Diverte cuneos hostis infensi graves,
Qui me molesto sub jugo afflictam premit,
Immo malorum (nam potes) fundo eripe
Possessione quique felici, omnium
Sortem antecellis, ipse sceptrorum arbiter,
Et affluentem commodis terram occupas.
Edultorum nil deest; far, et pecus
Luxuriat agris, piscibus fluvit natant;
Argenteis aureisque locupletum juga
Montana rident fructibus; luxu domus
Fulgent amœnæ; vulgus hastatum fremit
Ubique, ubique miles ad bellum ferox,
Animosque nutriens corde generosus eques,
Per perstrepentes calce cornipedum, celer
